## ΠΑΡΑΓΡΑΦΟΣ 2.3

Ἐν δὲ ταῖς Ἀθήναις

τῆς Παράλου ἀφικομένης νυκτὸς

ἐλέγετο ἡ συμφορά,

καὶ οἰμωγὴ

ἐκ τοῦ Πειραιῶς

διὰ τῶν μακρῶν τειχῶν

εἰς ἄστυ διῆκεν,

ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων·

ὥστ᾽ ἐκείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη,

οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες,

ἀλλὰ πολὺ μᾶλλον ἔτι αὐτοὶ ἑαυτούς,

πείσεσθαι νομίζοντες οἷα ἐποίησαν Μηλίους τε

Λακεδαιμονίων ἀποίκους ὄντας, κρατήσαντες

πολιορκίᾳ, καὶ Ἱστιαιέας καὶ Σκιωναίους καὶ

Τορωναίους καὶ Αἰγινήτας καὶ ἄλλους πολλοὺς

τῶν Ἑλλήνων

## ΠΑΡΑΓΡΑΦΟΣ 2.4

Τῇ δ᾽ ὑστεραίᾳ ἐκκλησίαν ἐποίησαν,

ἐν ᾗ ἔδοξε τούς τε λιμένας ἀποχῶσαι πλὴν ἑνὸς

καὶ τὰ τείχη εὐτρεπίζειν

καὶ φυλακὰς ἐφιστάναι

καὶ τἆλλα πάντα

ὡς εἰς πολιορκίαν παρασκευάζειν τὴν πόλιν

